# Βυζαντινοί Ιστορικοί και Χρονογράφοι ΙΙ

**Διδάσκων: Αναπλ. Καθηγητής Αθανάσιος Αγγέλου**

**2η ενότητα: «Προοίμια ιστορικών έργων και κείμενα ἐπέχοντα θέση εσωτερικών προοιμίων»**

# Κύρια σημεία του μαθήματος

Εξετάζεται η σχέση γενικού προοιμίου στο όλο έργο και εσωτερικών προοιμίων σε συγκεκριμένες αφηγηματικές ενότητες και ειδικά η λειτουργία του εσωτερικού προοιμίου στο ιστορικό έργο του Νικήτα Χωνιάτη. Αναλύεται λεπτομερώς η δομή και εντοπίζονται τα στοιχεία που συναπαρτίζουν το προοίμιο της βασιλείας Αλεξίου Β΄.

# Κύρια σημεία του μαθήματος (συνέχεια)

Συζητείται επίσης η ειδολογική υπαγωγή του και επισημαίνονται τα υφολογικά φαινόμενα που το χαρακτηρίζουν. Ακολουθεί η ερμηνεία των μεταφορών που χρησιμοποιούνται και εκτίθεται κατά ιστορικό τρόπο η εκτενής σημασιολογία εκείνων των λέξεων του προοιμίου που συνιστούν κατηγορίες πολιτικής ανάλυσης.

# Ακολουθούν τα υπό εξέταση κείμενα

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 4-15)

Καὶ οὕτω μὲν ὁ Κομνηνὸς Μανουὴλ καταλύει τὸν βίον, βασιλεύει δὲ μετ᾽ αὐτὸν ὁ ἐκείνου παῖς Ἀλέξιος, οὔπω καθαρῶς τῆς ἥβης ἁψάμενος, ἀλλ᾽ ἔτι παιδοκόμων καὶ τιτθευτρίας δεόμενος. πλημμελῶς τοίνυν καὶ ἀχρείως τὰ Ῥωμαίων ἐφέρετο πράγματα καὶ χειρόνως ἢ ὅτε ὁ Φαέθων τὴν ἐν ἄστροις οὐρανοῦ τέμνειν ὁδὸν ἐπεβάλετο τοῦ πατρικοῦ καὶ χρυσοκολλήτου ἐπιβὰς ἅρματος. αὐτὸς μὲν γὰρ ὁ κρατῶν διὰ τὸ τῆς ἡλικίας ἀτελὲς καὶ τὸ τοῦ τὰ συνοί|σοντα φρονεῖν ἐνδεὲς οὐδενὸς ἦν τῶν καθηκόντων ἐπιστρεφόμενος, κούφοις δὲ τρεφόμενος πνεύμασι καὶ τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μήπω μεμαθηκὼς ἀκριβῶς κυνηγεσίοις προσανεῖχε καὶ ἱππηλασίοις προσέκειτο, παιδαρίοις συμπαίγμοσι συγγινόμενος καὶ τὸ ἦθος ἐν τοῖς χειρίστοις τυπούμενος. οἱ δέ γε πατρῷοι τούτῳ ἑταῖροι καὶ οἱ καθ᾽ αἷμα δήπου προσήκοντες ἑτέροις τὸν νοῦν προσέχοντες τῆς

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 4-15)

**4—14** καὶ — τυπούμενος: cf. Eust. 18, 13—18 **4—25** καὶ — ἅπαντα: cf. Nic. Panopl. dogm. lib. XXVII (contin. verba ad p. 222, 65 allata) Ἀλεξίου δὲ τοῦ ἐξ ὀσφύος ἐκείνῳ τὴν Ῥωμαϊκὴν ἀρχὴν διαδεξαμένου, μειρακίσκου παναπάλου καὶ λειοπώγωνος καὶ μήπω τὸ τρισκαιδέκατον ἔτος ἐξηνυκότος, ὡς ναῦς ἀνερμάτιστος χειμῶνι φορουμένη καὶ κύμασι τὰ κοινὰ κατεβαπτίζετο πράγματα, ἔσωθεν μὲν τοῖς βασιλειῶσι προσγενέσι τοῦ παιδὸς καὶ βασιλέως εἰς ἀκρωρείας ἐκβρασσόμενα τυραννίδων (proseq. ad p. 225, 56) **7—9** χειρόνως — ἅρματος: cf. Eust. 48, 22—23; Hygin. Fab. 152. 154 **11** κούφοις — πνεύμασι: cf. Soph. Ai. 558 **11—12** τὸ — μεμαθηκώς: cf. Nic. Or. 50, 4

---

VA = a, PW, RMDF = b

**1—3** Βασιλεία — Κομνηνοῦ (τοῦ Κομν. om. Bekk) PW Bekk: id., praemisso Τόμος ὄγδοος V: id., addito in fine παρὰ τοῦ αὐτοῦ Νικήτα τοῦ Χωνειάτου συγγραφεῖσα A **4** ὁ Κομν. Μαν.: ὁ βασιλεὺς Μαν. VB: ὁ βασ. Μαν. ὁ Κομν. DF Bekk **6** τιθ. VDF **7** ἐφέροντο VB ὁ om. VAW ὁ τοῦ ἡλίου παῖς Φαέθων B **8** ἐπεβάλλετο M Bekk **9** γὰρ om. V: hab. B **10** τὸ V: cum PW b om. A τὸ νηπιῶδες φρόνημα B ἐνδεὴς W **11** δὲ om. P **13** ἱππηλασίαις PR Sc: ἱππολυσίοις M **14** γε: τε F πατρῴοι: πρῶ/Οἱ M: πρῶτοι D **15—16** καὶ — τούτου om. R

**1—3** Βασιλεία Ἀλεξίου τοῦ πορφυρογεννήτου τοῦ (τοῦ om. R) υἱοῦ τοῦ βασιλέως Μανουὴλ (Μανουὴλ: κῦρ Μανουὴλ R) τοῦ Κομνηνοῦ (τοῦ Κομνηνοῦ om. F) συγγραφεῖσα παρὰ τοῦ αὐτοῦ Νικήτα τοῦ (N. τοῦ om. F) Χωνιάτου RMF: Βασιλεία τοῦ βασιλέως κῦρ Ἀλεξίου τοῦ Κομνηνοῦ (πορφυρογεννήτου super Κομνηνοῦ scr.) τοῦ υἱοῦ τοῦ βασ. κῦρ M. τ. Κομν. D **10** τὸ om. PW b Bekk **11** δὲ: δὲ μόνον b Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 18-32)

τούτου καλλίστης κατημέλουν ἀγωγῆς καὶ τροφῆς καὶ τὰ κοινὰ φθειρόμενα παρεβλέποντο. οἱ μὲν γὰρ τῆς βασιλίδος ἤρων καὶ ἐπείρων, ἐπαφροδίτως βοστρυχιζόμενοι, καὶ τὸν ταύτης ἀντέρωτα θηρώμενοι ἐμυροῦντο νηπιωδῶς καὶ ἐμιτροῦντο γυναικωδῶς περιδερραίοις λιθοκόλλοις καὶ ὅλοις ἐς ἐκείνην ὀφθαλμοῖς ἐνητένιζον· οἱ δέ, χρηματιστικοὶ ὄντες καὶ δημοβόροι, παρενοσφίζοντο τὰ δημόσια ταῖς τε ἐφευρημέναις δαπάναις ἀφειδέστερον χρώμενοι καὶ νέας προσεφευρίσκοντες, ἵν᾽ ἔχοιεν οὕτω τὸ χθὲς κενὸν καὶ σύσπαστον βαλάντιον πλῆρες καὶ διῳδηκὸς σήμερον· οἱ δέ, τοῦ βασιλεύσειν ἔχοντες ἔφεσιν, πρὸς τοῦτο τὸν οἰκεῖον σκοπὸν συνέτεινον ἅπαντα. ὡς γάρ τινος παιδαγωγοῦ γενναίου καὶ ἐμβριθοῦς ἐκποδὼν γεγενημένου, ἀταξίας τὸ πᾶν ἐπεπλήρωτο, ἑκάστου τὸ οἰκεῖον μεταδιώκοντος ἐφετὸν καὶ ἀλλήλοις ἁπάντων ἀντιπραττόντων, ἢ κίονος ὑποσπασθέντος ἑδραίου καὶ ἀστραβοῦς πρὸς ἐναντίαν φορὰν ἀπονενεύκεισαν ἅπαντα. τῆς δὲ ἰσοτιμίας ἀτιμασθείσης παρὰ τοῖς τότε τὰ μέγιστα δυναμένοις καὶ κατὰ γένος συναπτομέ|νοις τῷ βασιλεῖ, αἵ τε ὑπὲρ τῶν κοινῶν φροντίδες ἐξέλιπον καὶ αἱ συνδρομαὶ καὶ σύνοδοι ἠφαντώθησαν.

**ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 33-40)

Καὶ τοῦ πρωτοσεβαστοῦ καὶ πρωτοβεστιαρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὃς ἀνεψιὸς ἦν πρὸς πατρὸς τῷ βασιλεῖ Μανουήλ, τῇ τοῦ παιδὸς καὶ βασιλέως μητρὶ πλησιάζοντος, ὡς ἐλέγετο, καὶ θαμὰ αὐτῇ ὁμιλοῦντος καὶ ὑπὲρ πάντα ἰσχύοντος ἕτερον, οἱ τοῦ αὐτοῦ μεταλαχόντες αἵματος καὶ ἰσοκρατεῖς εἶναι παρὰ τοῦ βασιλέως Μανουὴλ ἐαθέντες καὶ ἀξιώμασι μεγίστοις ἐμπρέποντες ἔστιν ἣ ἀπεπνίγοντο τοῖς γινομένοις, ἔστι δ' ἣ καὶ τυραννίδα φυομένην ὁρῶντες τὸν πρωτοσεβαστὸν ὑπεβλέποντο, οὐ τοσοῦτον μὴ ὁ βασιλεύων ἀηδές τι πάθῃ περὶ πλείστου ἔχοντες, ὅσον

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 18-40)

**17—20** οἱ — ἐνητένιζον: cf. Eust. 18, 25—28 **21** δημοβόροι: vide ad p. 43, 61 **23** σύσπαστον βαλάντιον: cf. Plat. Conv. 190 e **33—46** καὶ — σκέπτεται: cf. Eust. 18, 28—19, 6 **28** κίονος . . . ἀστραβοῦς: cf. Pind. Ol. 2, 81 sq.

---

VA = a, PW, RMDF = b

**17** μάλα λαμπρῶς post ἠπείρων add. AP, ubi (βασιλί)δος — λαμπρῶς i. r. 18 litt., W Bekk **20** ἐς: εἰς DF: om. M ὀφθαλμοῖς εἰς αὐτὴν Bekk ἠτένιζον W χρηματικοὶ V **21** τε: μὲν AW: om. P προσεφευρημέναις P **22** ἀφειδῶς M δὲ post νέας (νέοις A) add. AW **23** κοινὸν καὶ ἀσύσπ. V καὶ alt. om. M **24** βασιλεύειν V $A^{ac}P^{ac}$ Bekk **25** ἅπαντες VM **26** ἐκ ποδῶν APWR γενομένου Bekk τοῦ βασιλέως post γεγεννημένου add. $AP^{pc}W$ **27** διαπραττόντων M **29** ἅπαντες VRB δὲ: τοίνυν $AP^{1r}W$ **30—34** αἳ — βασιλεῖ om. R **31** τῶν: τινῶν τῶν W αἱ σύνοδοι W **33** καὶ alt.: δὲ καὶ $AP^{pc}WD$ Bekk **34—36** ὃς ἀνεψιὸς ἦν τοῦ βασιλέως Μανουήλ, ὡς ἐλέγετο, ἐπλησίαζε τῇ μητρὶ τοῦ βασιλέως καὶ παιδὸς καὶ συχνὰ ἐν αὐτῇ εἰσερχόμενος καὶ συντυχαίνων ὑπὲρ πάντα ἄρχοντα ἴσχυε καὶ ἐξουσίαζε B **34—35** τῇ — ἐλέγετο V: lect. codd. PW b hab. A **38** τοῖς γινομένοις $A^{mgyp}$: τῇ τοῦ ἀνδρὸς παραδυναστείᾳ AW Sc **40—41** ὁ — μὴ om. M **40** Ἀλέξιος post βασιλεύων add. $AP^{pc}W$ Bekk πάθοι R Bekk ἔχοντες $A^{mgyp}$: τιθέμενοι AW

**34—35** τῇ — ἐλέγετο: τὴν τοῦ παιδὸς καὶ βασιλέως μητέρα ὑποποιησαμένου (ὑποπ. μητ. AW Sc) APW b Sc Bekk

## **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Ανάλυση των στίχων 41-60)

μὴ αὐτοὶ συλληφθεῖεν ὑφορώμενοι. καὶ διὰ ταῦτα καραδοκοῦντες τὸ μέλλον, τὸ καθ' αὐτοὺς ἀσφαλὲς τοῦ πέλας προυτίθεσαν. ἤδη γὰρ ἡ φήμη λάλος ἦν καὶ διαρρήδην κραυγάζουσα ὡς Ἀλέξιος τῇ μητρὶ τοῦ βασιλέως συγγίνεται καὶ καθελεῖν μὲν τοῦτον τῆς δυναστείας ἐν νῷ τίθεται, ἑαυτὸν δ' ἐπιβήτορα ταύτης, ὥσπερ δὴ καὶ τῆς τεκούσης, γενήσεσθαι σκέπτεται.

Καὶ οὕτω μὲν τὰ κατὰ τὴν βασιλείαν αὐτὴν πάσης ὄντα συγχύσεως καὶ παντοίου χειμῶνος ἔμπλεα, καὶ τὸ τοῦ μυθικοῦ δράκοντος πράγμασιν αὐτοῖς ὁρώμενον ἦν, ὃς κακῶς διετίθετο κωφῷ καὶ τυφλῷ μέρει τῷ οὐραίῳ διεξαγόμενος. ἢ τὸ τέρας πέρας ἐλάμβανεν, ὃ τὸν βίον τελευτῶντος ἐπεφάνη τοῦ | αὐτοκράτορος Μανουήλ· γυνὴ γάρ τις κατὰ τὴν Προποντίδα λαχοῦσα τὴν οἴκησιν παιδίον ἀπέτεκεν ἄρρεν, τὸν μὲν λοιπὸν ἄνθρωπον ἐξηρθρωμένον καὶ λίαν βραχυμερέστατον, τὴν δέ γε κεφαλὴν χρῆμά τι ἐπὶ τῶν ὤμων ἀνέχον μέγα τε καὶ ἐξαίσιον, ὃ καὶ συλλελόγιστο πολυαρχίας εἶναι σημαντικόν, ἥτις μήτηρ ἀναρχίας ἐστίν.

Ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος ὁ τοῦ βασιλέως ἐξάδελφος Μανουήλ, περὶ οὗ τὸ λέγειν ἐν τῇ κατὰ τὸν βασιλέα τοῦτον ἱστορίᾳ ἔρρευσεν ἱκανώτατα, διατρίβων τηνικαῦτα κατὰ τὸ Οἴναιον, ἐπεὶ πύθοιτο τὸν τοῦ Μανουὴλ θάνατον καὶ διαστασιάζειν ἔγνωκε τὰ βασίλεια, τὸν παλαιὸν τῆς τυραννίδος ἀνασκάλλει ἔρωτα. ἀλλὰ μήπω περὶ τούτων, καθ' εἱρμὸν δὲ προϊὸν

# **ΒΑΣΙΛΕΙΑ ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ ΤΟΥ ΚΟΜΝΗΝΟΥ** (Σχόλια των στίχων 41-60)

**45** ἐπιβήτορα: cf. p. 101, 70 **56—65** ὁ — εἵλετο: cf. Nic. Panopl. Dogm. lib. XXVII (continuantur verba supra ad p. 223, 4 allata): ἔξωθεν δὲ τοῖς ἐκ γειτόνων βαρβάροις εἰσεκώμασεν ὁ ἐκ Κομνηνῶν Ἀνδρόνικος, ἀνὴρ τὴν μὲν τρίχα ὑπαργυρίζων τῷ χρόνῳ, ἐνεδρευτικὸς δὲ τὸ ἦθος καὶ ὕπουλος καὶ πολυμορφότερος χαμαιλέοντος. οὗτος γὰρ τοῦ βασιλέως Μανουὴλ ἐξάδελφος ὤν, ὑπώπτευέ τε τὴν ἐξ ἐκείνου χείρωσιν καὶ κάκωσιν, ἣν καὶ πέπονθε πολλάκις διὰ χρονίων καθείρξεων καὶ οὐχ ἧττον ὑπεβλέπετο παρ' ἐκείνου διὰ τὸ φίλαρχον τοῦ τρόπου καὶ τὸ τοῦ φρονήματος ἀκαθαίρετον. οὐκοῦν φυγὰς ἀεὶ καὶ πλανήτης τὴν ὑπ' οὐρανὸν περιήρχετο, ἄρχειν μὲν ἐρῶν, ἄρχεσθαι δὲ ἀδοξῶν.

---

VA = a, PW, RMDF = b

**42** ἑαυτοὺς V **43** ὡς om. W **43—44** τῇ-συγγίνεται (sive γενόμενος) om. W **44** συγγίνεται καὶ VB: lect. codd. P b hab. A μέτεισι τοὺς πολλοὺς (πολλοὺς: φίλους W) φιλίᾳ καὶ χρήμασι ante καὶ καθελεῖν add. AP$^{pc}$W Bekk τοῦτον: τὸν βασιλέα AW: αὐτὸν cum P b scr. A$^{mg}$ **45—46** ὥσπερ — σκέπτεται i. r. 15 litt. et mg. P **45** ὥσπερ — τεκούσης: μετὰ τῆς ἑταιρίας W: καθὼς καὶ ἐπὶ τὴν κοίτην τῆς δεσποίνης ἀνέβη B γενήσεσθαι: γενέσθαι A$^{mg\gamma\rho}$ W **47** τὰ om. R τὴν βασιλείαν αὐτὴν: τὰ τῆς βασιλείας πράγματα B **49** διέθετο R **53** -μένον sscr. et καὶ λίαν i. r. 5 litt. P τε λίαν καὶ W **54** ἀνέχον om. V **57** ἔρρευσεν ἱστορία P κατέρρευσεν Bekk **58** ἐπειδὴ P τοῦ om. W

44 συγγίνεται καί: ξύμφυτος (σύμφ. Bekk) μικροῦ (μικροῦ om. AP) καὶ σύμπνους γενόμενος (γινόμενος D) AP b Bekk τοῦτον: αὐτὸν P b Bekk δυναστείας: βασιλείας b Bekk 45 ὥσπερ — τεκούσης om. b γενήσεσθαι: θέσθαι b 47 βασίλειον αὐλὴν b Bekk